τε καὶ ἀνοίᾳ, εἴτε καὶ δυνάμει τῶν πεισάντων με
ἐλθεῖν εἰς τοιαύτην συμφορὰν τῶν φρενῶν, ὥστ'
ἀνάγκην μοι γενέσθαι δυοῖν κακοῖν τοῖν μεγίστοιν
θάτερον ἑλέσθαι, ἢ μὴ βουληθέντι κατειπεῖν τοὺς
ταῦτα ποιήσαντας οὐ περὶ ἐμοῦ μόνου ὀρρωδεῖν,
εἴ τι ἔδει παθεῖν, ἀλλὰ καὶ τὸν πατέρα οὐδὲν ἀδι-
κοῦντα σὺν ἐμαυτῷ ἀποκτεῖναι (ὅπερ ἀνάγκη πα-
θεῖν ἦν αὐτῷ, εἰ ἐγὼ μὴ ἐβουλόμην ταῦτα ποιῆ-
σαι), ἢ κατειπόντι τὰ γεγενημένα αὐτὸν μὲν ἀφ-
εθέντα μὴ τεθνάναι, τοῦ δὲ ἐμαυτοῦ πατρὸς μὴ
φονέα γενέσθαι. τί δ' ἂν οὐ πρό γε τούτου τολ-
μήσειεν ἄνθρωπος ποιῆσαι; ἐγὼ τοίνυν ἐκ τῶν 8
παρόντων εἱλόμην ταῦτα, ἃ ἐμοὶ μὲν λύπας ἐπὶ
χρόνον πλεῖστον οἴσειν ἔμελλεν, ὑμῖν δὲ ταχίστην
τοῦ παρόντος τότε κακοῦ μετάστασιν. ἀναμνήσθητε
δὲ ἐν οἵῳ κινδύνῳ τε καὶ ἀμηχανίᾳ καθέστατε,
καὶ ὅτι οὕτως σφόδρα σφᾶς αὐτοὺς ἐπεφόβησθε,
ὥστ' οὐδ' εἰς τὴν ἀγορὰν ἔτι ἐξῇτε, ἕκαστος
ὑμῶν οἰόμενος συλληφθήσεσθαι. ταῦτα τοίνυν ὥστε
μὲν γενέσθαι τοιαῦτα, πολλοστὸν δή τι ἐγὼ μέρος
τῆς αἰτίας ηὑρέθην ἔχων, ὥστε μέντοι παυθῆναι,
ἐγὼ εἷς ὢν μόνος αἴτιος. καὶ ὅμως τό γε δυστυ- 9
χέστατος εἶναι ἀνθρώπων οὐδαμῇ ἐκφεύγω, ὅτε δὴ
προαγομένης μὲν τῆς πόλεως ἐπὶ ταύτας τὰς συμ-
φορὰς οὐδεὶς ἐμοῦ ἧρχετο γίγνεσθαι δυσδαιμο-

βουληθέντα (corr. Ald.). cf. infra κατειπόντι. — ὀρρωδεῖν] cf. Harp. s. v.: ὀ. ἀντὶ τοῦ φοβεῖσθαι Ἀ. ἐν τῷ π. τ. ἀδείας. — δεῖ L.

8. ἐξῇτε L.: ἐξήειτε. — ηὑρέθην L.: εὑρέθην.

9. ἤρχετο] ηὔχετο Emp.